**0345-0407 - Iohannes Chrysostomus - In catechumenos**

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 277 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

[00001] In catechumenosà

[00002] Εἰς τοὺς κατηχουμένους.

60.739

[00003] Ἐν τοῖς ἔξωθεν σταδίοις πολλοὶ μὲν τοῦ δρόμου ὑπομένουσι κόπον, εἷς δὲ κομίζεται τῆς νίκης τὸν στέφανον·

[00004] καὶ οἱ μὲν πόνοι τοῦ ἀγῶνος καὶ οἱ ἱδρῶτες πολλῶν, τῆς δὲ χαρᾶς τὸ βραβεῖον ἑνός.

[00005] Ἐν δὲ τῷ πνευματικῷ τούτῳ τῆς ἐκκλησίας χωρίῳ εἷς μὲν παρὰ πάντων τῆς εὐσεβείας ὁ δρόμος, ἰσάριθμοι δὲ τῶν τρεχόντων οἱ στέφανοι.

[00006] Καὶ ξένον οὐδέν·

[00007] ἀνενδεὴς γάρ τις βραβευτὴς καὶ πλούσιος ἵσταται μέσος τῶν ἀγωνιζομένων Χριστὸς, ἑκάστου μὲν τὴν προθυμίαν ὡς δρόμον δεχόμενος, ἐπίσης δὲ τὰς τιμὰς εὐτρεπίζων.

[00008] Οὐ γὰρ προτιμᾶται τὸν δυνάστην, καὶ παρορᾷ τὸν πτωχεύοντα·

[00009] οὐ δέχεται τὸν ἔνδοξον, καὶ τὸν ἀσθενῆ παραπέμπεται·

[00010] οὐ στεφανοῖ πολιὰν, ἐξουδενοῖ δὲ νεότητα·

[00011] οὐ προσμειδιᾷ τῷ δικαίῳ, προστρέχοντα δὲ τὸν ἁμαρτωλὸν ὑποβλέπεται·

[00012] ἀλλὰ πᾶσιν ἴσως ἐφαπλοῖ τῶν οἰκτιρμῶν τὴν σαγήνην, πάντας ὁμοίως ἐφέλκεται τῷ τῆς εὐσεβείας δικτύῳ.

[00013] Κοινὸν γὰρ πᾶσι προστέθεικε·

[00014] καὶ ὡς ἀρτίως ἠκούσαμεν, φιλανθρωπίας διάταγμα μεγαλοφώνως βοᾷ·

[00015] Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.

[00016] Δεῦτε πάντες οἱ τὴν ἁλμυρὰν ταύτην τοῦ βίου διαπλέοντες θάλασσαν, ἐμοὶ τῆς σωτηρίας τοὺς οἴακας ἐμπιστεύσατε·

[00017] ἔχω τέχνην διαβολικαῖς ἀντιπαλοῦσαν σπιλάσιν·

[00018] ἐμπορίαν ὑμῖν ἀκλυδώνιστον προξενῶ σωτηρίας.

[00019] Δεῦτε πάντες·

[00020] πολὺς ἐπίκειται τῆς ἁμαρτίας χειμών·

[00021] ἔστι μοι κολυμβήθρας λιμὴν ἀνθρώπους σώζων, τὸν δὲ διάβολον ἀποπνίγων.

[00022] Ὢ κλήσεως τὴν ἁμαρτίαν γυμνούσης! ὢ φωνῆς πᾶσαν τὴν τοῦ δαίμονος ἁρπαζούσης οὐσίαν! ὢ φαρμάκου πρὸς ἕκαστον τῶν νοσούντων βαδίζοντος! ὢ δωρεᾶς ῥεούσης τοῖς βουλομένοις ἀκώλυτα! ὢ πηγῆς πάντας τοὺς διψῶντας ζωὴν ἐπειγομένης ποτίζειν! Εἴ τις γὰρ, φησὶ, διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω·

[00023] εἴ τις διψᾷ τῆς σωτηρίας τὰ νάματα, εἴ τις τοῦ ὕδατος τοῦ ζῶντος ἐπιθυμεῖ, εἴ τις πρὸς τὴν ἀληθῆ διαλέγεται γνῶσιν, εἴ τις διψᾷ τῆς εὐσεβείας τὸ δίψος.

[00024] Ἐδίψησε γὰρ καὶ Ἰούδας τῆς προδοσίας τὸ δίψος·

[00025] ἐδίψησε γὰρ καὶ Ἡρώδης τῶν νηπίων τὸν ὄλεθρον, ἐδίψησεν ἡ Συναγωγὴ τοὺς φόνους τῶν προφητῶν, ἐδίψησεν Ἰεζάβελ τὸν ἀμπελῶνα τοῦ Ναβουθαὶ, ἐδίψησεν ἡ Δαλιδὰ τοῦ Σαμψὼν τὴν ἀσθένειαν, ἐδίψησεν Ἡρωδιὰς τοῦ Προδρόμου τὸ αἷμα, ἐδίψησαν τὸν Σωτῆρα Ἰουδαῖοι·

[00026] ἀλλ' ἐδίψησαν δίψος πρόξενον ἀπωλείας, ἐδίψησαν δίψος παρεκτικὸν πυρετοῦ, ἐδίψησαν δίψος κολάσεως αἴτιον.

[00027] Ἀλλ' εἴ τις διψᾷ, ὡς ἐδίψησε Ζακχαῖος τὴν ἐμὴν θεωρίαν, ὡς ἐδίψησε τὴν θεραπείαν αἱμόῤῥους, ὡς ἐδίψησε πόρνη πλυθῆναι τὰς ἁμαρτίας, ὡς ἐδίψησε Ματθαῖος τοῦ εὐαγγελιστοῦ τὸ ἀξίωμα, ὡς ἐδίψησεν ὁ λῃστὴς τὸν παράδεισον, ὡς ἐδίψησε Θωμᾶς τὴν ζωοποιὸν τραυμάτων ψηλάφησιν, ὡς ἐδίψησεν ὁ τῆς Αἰθιοπίας εὐνοῦχος τὸ βάπτισμα, ἐφ' ὃ πυρακτούμενος ἐβόα πρὸς τὸν Ἀπόστολον·

[00028] Ἰδοὺ ὕδωρ, τί κωλύει με βαπτισθῆναι;

[00029] Ἄκουε, κατηχούμενε·

[00030] πηγὴ ζωῆς οὐ μόνον καλεῖ, ἀλλὰ καὶ παρακαλεῖ·

[00031] Δεῦτε γὰρ, φησὶ, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.

[00032] Πρὸς ὅλην μου τοῦ γένους τὴν εὐεργεσίαν ηὐτρέπισμαι·

[00033] ὄμβρῳ θέλω χαρισμάτων ἀφεῖναι πηγήν.

[00034] Δεῦτε πάντες·

[00035] κἂν μυριάδες ἀσθενῶσι, προσίτωσαν.

[00036] Μηδεὶς ἀτονεῖν με τὸν ἰατρὸν νομιζέτω τὴν οἰκουμένην ἰώμενον·

[00037] οὐ κάμνω θεραπεύων, εἰ κτίζων οὐκ ὤκνησα·

[00038] οὐκ ἐλέγχει μου τὴν εὐπορίαν ὁ κόσμος τὰ ἐμὰ μεριζόμενος·

[00039] πένης παρέχων οὐ γίνομαι, ἁρπαζόμενος χαίρω, ἐκφορούμενος τέρπομαι·

[00040] οὐκ ἐλαττοῦμαι κενούμενος, καὶ κλεπτόμενος ἥδομαι·

[00041] καὶ μάρτυς ἡ αἱμόῤῥους κλέψασα, καὶ διὰ τοῦτο ψυχὴν ἅμα καὶ σῶμα στεφθεῖσα.

[00042] Δεῦτε, πάντες οἱ

[00043] Επιτρέπετα

[00044] κοπιῶντες.

[00045] Εἶδες, φιλόχριστε, πόση ἡ τοῦ κτίσαντος περὶ τὸ γένος φιλοτιμία;

[00046] Τί οὖν ἀμελεῖς, ὦ κατηχούμενε;

[00047] τί βραδύνεις;

[00048] Πρόσελθε τῷ Δεσπότῃ καλοῦντί σε.

[00049] Οὐκ ἀκούεις τοῦ σοφοῦ παραινοῦντος καὶ λέγοντος·

[00050] Μὴ ἀνάμενε ἐπιστρέψαι πρὸς Κύριον, καὶ μὴ ὑπερτίθου ἡμέραν ἐξ ἡμέρας·

[00051] ἐξαπίνης γὰρ ἐλεύσεται ἡ ὀργὴ Κυρίου;

[00052] Συντέμνει δὲ τὸν χρόνον, ἰδὼν τὴν τῶν ἀνθρώπων φύσιν ῥᾳδίως καὶ ἐν βραχεῖ τρεπομένην.

[00053] Πολλοὶ γὰρ δόντες ἑαυτοὺς μικροτέραις ὑπερθέσεσι, τὴν ἐξ ἀμφοτέρων ἐλπίδα σοφῶς ἐνόμισαν ταμιευσάμενοι, μήτε τῶν προσδοκωμένων ἀμοίρησιν ἐλπίζοντες, καὶ τὸ καταχρήσασθαι τέως τῷ βίῳ κέρδος ἡγούμενοι, οἳ πρὸ τῆς ἀπολαύσεως τῶν ἀναγκαίων ἡρπάγησαν, ταῖς αἰω [60.740] νίαις ἀποδοθέντες βασάνοις καὶ κολάσεσι·

[00054] καὶ ὡς ἐνόμισαν χρόνον κλέπτειν βραχὺν, ὅλην οὐκ ἐνόησαν τὴν σωτηρίαν κλεπτόμενοι, ἐξαίφνης ἀνάρπαστοι καὶ πρὸ τοῦ γήρως γενόμενοι.

[00055] Διὰ τοῦτο ὁ Δεσπότης Χριστὸς κλέπτην ὠνόμασε τοῦ ἀνθρώπου τὸν θάνατον·

[00056] Ὡς κλέπτης γὰρ, φησὶν, ἐν νυκτὶ, οὕτως ἔρχεται·

[00057] ἵν' ἡμεῖς πρὸς τὸ ἀόριστον τῆς ἐπιβουλῆς ταραττόμενοι, τὴν προθεσμίαν τοῦ πλείονος χρόνου μὴ ἐπελπίζωμεν.

[00058] Οὐ γὰρ ἐξουσιάζομεν τῆς χρονικῆς ὑπερθέσεως, οὐ κυριεύομεν τοῦ ζῆσαι καιρὸν ὅσον ἐθέλομεν.

[00059] Τούτου γὰρ χάριν τὴν γνῶσιν οὐκ ἐπιστεύθημεν τῆς ἑαυτῶν μεταστάσεως, ἵνα τὴν ἀμετρίαν τῶν ἁμαρτιῶν ἐλαττώσωμεν, τῇ δειλίᾳ τοῦ θανάτου σωφρονεῖν παιδευόμενοι.

[00060] Ἀριθμήσωμεν τοὺς καθ' ἑκάστην ἡμέραν προπεμπομένους ἐπὶ τὰ μνήματα, σκοπήσωμεν ὡς τοῖς γεγηρακόσι πολὺ τὸ πλῆθος τῶν νεαζόντων ἐνεμέμικτο.

[00061] Διὰ τί τοίνυν, ὦ κατηχούμενε, παρορᾷς τῆς ἑαυτοῦ ψυχῆς τὴν ἀσφάλειαν, καὶ τὸν φόβον τοῦ θανάτου παραπεμψάμενος, τὸν χρόνον ὡς ἰσχυρὸν ἀγωνιστὴν ἐπαγγέλλῃ μοι;

[00062] πόσοι τῶν ἀνθρώπων ἐπιτερπόμενοι ταῖς τοῦ βίου ἡδοναῖς, καὶ ἐπὶ τῆς σαρκὸς γενναιότητι, ὡς ἀμεταβλήτῳ δυναστείᾳ, καυχώμενοι, καθάπερ χοῦς ὑπὸ λαίλαπος, ἀθρόον ἐπὶ τὴν ταφὴν ἀνηρπάσθησαν! Οὐκοῦν ἐπειδὴ τὸν χρόνον ἑαυτοῖς ὁρίσαι τῆς ζωῆς οὐκ ἰσχύομεν, τὸν φόβον τῆς τελευτῆς μὴ ἑλκύσωμεν.

[00063] Πόσους ῥᾳθυμήσαντας, καὶ μακροχρόνιον ζωὴν προσδοκήσαντας, ἐξαίφνης ἐμπρησμὸς κατετέφρωσε;

[00064] πόσοι σεισμῷ κατεχώσθησαν;

[00065] πόσους πλέοντας ἐκάλυψε θάλασσα;

[00066] πόσους αἰφνίδιον τῆς γῆς ὑπεδέξατο χάσμα;

[00067] πόσους ὁδοιποροῦντας ἀθρόον παρέσυραν ποταμοὶ πλημμυρίσαντες;

[00068] πόσοι θηρίοις καὶ λῃσταῖς περιπεσόντες ἀπώλοντο;

[00069] πόσους ἡ τῶν πολέμων ἐθέρισε μάχαιρα;

[00070] πόσους ἐδαπάνησαν ἔφοδοι νοσημάτων αἰφνίδιοι;

[00071] πόσοι τῆς ἑαυτῶν χωρισθέντες πατρίδος τὸ τοῦ θανάτου ἐδέξαντο σύνθημα, καὶ οὐδὲ τῆς κοινῆς ταφῆς ἠξιώθησαν;

[00072] Οὐκ ἀκούεις συνεχῶς τοῦ Δεσπότου βοῶντος, καὶ τὴν ἐγγύτητα τοῦ τέλους μηνύοντος·

[00073] Ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται;

[00074] Τίς ἡ ἀξίνη;

[00075] Ὁ θάνατος.

[00076] Τίς ἡ ῥίζα;

[00077] Ἡ ζωὴ τοῦ ἀνθρώπου.

[00078] Τίς ὁ κόπτων;

[00079] Ἡ τοῦ Δεσπότου ἀπόφασις, ἥτις ἐν τῷ κόπτειν βοᾷ·

[00080] Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ.

[00081] Οὐκοῦν ταύτης ἀφιστάμενοι προσέλθωμεν τῷ καλοῦντι Χριστῷ·

[00082] δράμωμεν ἐκ τοῦ σκότους πρὸς τὸ φῶς μεταγόμενοι, δράμωμεν πρὸς τὸν ἀναπαύοντα Κύριον, ὑποτάξαντες τὴν σάρκα τῷ πνεύματι·

[00083] δράμωμεν, ἐπειχθῶμεν τοῦ θανάτου ταχύτερον, προλάβωμεν ἀγγέλους ἐπὶ τὴν ἡμετέραν ἐρχομένους παράστασιν.

[00084] Ὡς λόγος ἐστὶν ὁ παρὼν βίος, καὶ ὡς σκιὰ παρατρέχει τῆς ζωῆς τὸ διάστημα.

[00085] Ὁ χρόνος δαπανᾶται, ὁ τρόπος οὐ βελτιοῦται·

[00086] αἱ πράξεις προτρέχουσιν, ὁ κριτὴς περιμένει, κατεπείγει τὸ πρόσταγμα, παριστῶσιν οἱ ἄγγελοι, κατηγορεῖ ἡ συνείδησις, καὶ τί δράσομεν πρὸς κρίσιν καλούμενοι;

[00087] Οὐκοῦν πολιτείας ἀγαθῆς ἐρασθῶμεν, μισήσωμεν τὴν τοῦ ἁμαρτάνειν συνήθειαν, τῆς μελλούσης ἀπολογίας φροντίσωμεν, κτησώμεθα καθαρότητα βίου·

[00088] οἱ γὰρ καθαροὶ τῇ καρδίᾳ, αὐτοὶ τὸν Θεὸν ὄψονται.

[00089] Τῶν Δεσποτικῶν ἐρασθῶμεν στεφάνων·

[00090] σὺν προθυμίᾳ πολλῇ τοῦ βίου τὸ στάδιον δράμωμεν, αὐτὸν ἔχοντες συνεργοῦντα πρὸς τὸν ἀγῶνα τὸν ἀγωνοθέτην Χριστόν.

[00091] Τοῖς γὰρ ἀγαπῶσι, φησὶ, τὸν Θεὸν πάντα συνεργεῖ εἰς τὸ

[00092] Επιτρέπετα

[00093] ἀγαθόν.

[00094] Καὶ τὸ θαυμαστότερον ἄκουσον·

[00095] Ἐν τῷ καιρῷ τοῦ ἀγῶνος ὁ Δεσπότης συναθλεῖ τοῖς παλαίουσι, καὶ ἐν τῇ ὥρᾳ τῆς νίκης βραβευτὴς προκαθέζεται, πρὸς πάλην ἀλείφει, καὶ μετ' ὀλίγον τοὺς στεφάνους αὐτὸς ἐπιτίθησι·

[00096] συμπαλαίει, τῷ κάμνοντι χαρίζεται δύναμιν, παρέχει τῆς νίκης τὰς ἀφορμὰς, καὶ μετ' ὀλίγον ὡς νικητῇ τοὺς μισθοὺς ἀποδίδωσι.

[00097] Πόθεν τοῦτο δῆλον;

[00098] Ἄκουσον τοῦ Δαυῒδ κεκραγότος·

[00099] Μετ' αὐτοῦ εἰμι ἐν θλίψει, ἐξελοῦμαι αὐτὸν καὶ δοξάσω αὐτόν.

[00100] Ὢ φιλανθρωπίας ἀφράστου! ὢ τῆς ὑπὲρ πάντα λόγον χρηστότητος! Βλέπε γὰρ ὅπερ λέγει ὁ Δεσπότης·

[00101] Ἐν τῷ καιρῷ, φησὶ, τῆς θλίψεως μετ' αὐτοῦ εἰμι, τὴν ἀνάγκην συμμερίζομαι, ἐξαρπάζω τοῦ κινδύνου.

[00102] Ταῦτα πάντα ποιῶ συναγωνιζόμενος.

[00103] Εἶτα λοιπὸν ὡς βραβευτὴς καὶ Δεσπότης τὴν φιλοτιμίαν προτίθημι λέγων·

[00104] Δοξάσω αὐτὸν, μακρότητι ἡμερῶν ἐμπλήσω αὐτόν.

[00105] Τοῦτο ποιεῖν εἴωθεν ὁ Δεσπότης καὶ ἐπὶ τὸν εὐμετάδοτον·

[00106] κοι [60.741] λαίνει τὴν χεῖρα τῷ πένητι δεχομένῳ τὴν εὐποιίαν.

[00107] Ὅταν ἀκούσῃς Χριστοῦ χεῖρα, νόει τὴν παλάμην τὴν βαστάζουσαν τῆς οἰκουμένης τὰ πέρατα.

[00108] Ἐκτείνει τοίνυν τὴν δεξιὰν ἀποῤῥήτως, λάθρα τοὺς ὀβολοὺς ὑποδέχεται, σημειοῦται τοῦ διδόντος τὸ πρόσωπον, ἐπὶ γῆς τὴν εὐεργεσίαν λαμβάνει, καὶ ἐν οὐρανῷ τὰς ἀμοιβὰς εὐτρεπίζει.

[00109] Καὶ πῶς, καὶ πότε ποιεῖται τὴν ἀντίδοσιν;

[00110] Ὅταν ἔλθῃ, φησὶν, ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ·

[00111] καὶ συναχθήσονται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη, καὶ ἀφοριεῖ αὐτοὺς ἀπ' ἀλλήλων, καθὼς ἀφορίζει ὁ ποιμὴν τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων·

[00112] καὶ τίθησι τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων·

[00113] καὶ ἐρεῖ τοῖς ἐκ δεξιῶν αὐτοῦ·

[00114] Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου·

[00115] ηὕρασθε γὰρ τὸν δικαστὴν ὀφειλέτην·

[00116] μὴ φοβεῖσθε τὸν θρόνον, ἀλλ' ὡς εὐεργετημένῳ τῷ καθημένῳ προσδράμετε·

[00117] ὅπερ ἐξεθέμην ὑμῖν προφέρω χειρόγραφον·

[00118] οὐ κρύπτω τὴν εὐεργεσίαν, ἵνα μὴ ζημιωθῆτε τὴν φιλανθρωπίαν·

[00119] οὐκ ἀρνοῦμαι τὴν δόσιν·

[00120] πρὸς γὰρ τὴν ἀνταπόδοσιν σπεύδω.

[00121] Δεῦτε ὑμεῖς, τὸν σπόρον τῶν οἰκτιρμῶν ἐπεδείξασθε, ἐγὼ τὸ θέρος τῆς χαρᾶς ὑμῖν προητοίμασα.

[00122] Εἰπὲ, Δέσποτα, τὴν αἰτίαν.

[00123] Ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν.

[00124] Μηδεὶς οὖν ὡς ἄπορον παραπεμπέτω τὸν πένητα·

[00125] πεινῶντα γὰρ παρορᾷ τὸν Δικαστὴν τῶν μελλόντων [60.742] αἰώνων.

[00126] Κτησώμεθα τοίνυν χρεώστην τὸν μέλλοντα κρίνειν ἐκεῖ.

[00127] Ὁ ἐλεῶν γὰρ, φησὶ, πτωχὸν, δανείζει Θεῷ.

[00128] Τῆς ἐκ δεξιῶν μερίδος ἄξιοι γενέσθαι σπουδάσωμεν, μισήσωμεν τὴν βδελυρὰν τῶν ἐρίφων συγγένειαν, τῶν ἀρνῶν τὴν κοινωνίαν μεταδιώξωμεν·

[00129] ἔχομεν γὰρ ἐξουσίαν τὴν ἐπιλογὴν τοῦ βελτίονος.

[00130] Διὰ τοῦτο γὰρ ἡμῖν ὁ κριτὴς προηγόρευσε Δεσποτικὸν ἐκεῖνο καὶ φοβερὸν δικαστήριον, καὶ αὐστηρίαν τῆς ἀποφάσεως, ἵνα τὸ κακῶς παθεῖν ἐκ τοῦ μαθεῖν τὴν ἀπειλὴν ὑπεκκλίνωμεν.

[00131] Μὴ παραδράμωμεν τὸ τοῦ Παύλου παράγγελμα τὸ φάσκον·

[00132] Πορισμὸς μέγας ἡ εὐσέβεια.

[00133] Οὐχ ὑπόκειται λογοθεσίῳ (ἐν καιρῷ δὲ νοεῖ Δικαστοῦ αὐστηρίαν)·

[00134] οὐ δέδοικε κατήγορον ἐπὶ τοῦ θρόνου κραυγήν·

[00135] οὐκ ἐκδέχεται κατάγνωσιν, ἀλλ' ἀναμένει παράκλησιν·

[00136] ἔστι γὰρ ἀνενδεὴς ἀπόλαυσις ἀγαθῶν, ἀναφαίρετος πλοῦτος, τιμὴ ἀδιάδοχος, κέρδος ἀταμίευτον, προβαδίζον βοήθημα, συνοδεύουσα χάρις, θεραπεία καρδίας, ψυχῆς ἀγαλλίασις, συνειδότος γαυρίαμα, ἀπολογία εὐπρόσιτος, ἀφορμὴ παῤῥησίας.

[00137] Ἡ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστιν·

[00138] ἐπαγγελίας ἔχουσα ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης, ἧς καὶ ἡμεῖς ἐπιτυχεῖν καταξιωθείημεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00139] Ἀμήν.

[00140] Επιτρέπετα

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - In catechumenos**

**Litterarum Omnium Conspectus: 116 Litterae, quae repetitae sunt in 8,348 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 548 | Α | 0913 | 1 |
| β | 0946 | 56 | Β | 0914 | 1 |
| γ | 0947 | 119 | Γ | 0915 | 1 |
| δ | 0948 | 159 | Δ | 0916 | 0 |
| ε | 0949 | 460 | Ε | 0917 | 8 |
| ζ | 0950 | 39 | Ζ | 0918 | 1 |
| η | 0951 | 140 | Η | 0919 | 0 |
| θ | 0952 | 112 | Θ | 0920 | 4 |
| ι | 0953 | 346 | Ι | 0921 | 1 |
| κ | 0954 | 223 | Κ | 0922 | 9 |
| λ | 0955 | 174 | Λ | 0923 | 0 |
| μ | 0956 | 273 | Μ | 0924 | 6 |
| ν | 0957 | 709 | Ν | 0925 | 1 |
| ξ | 0958 | 38 | Ξ | 0926 | 0 |
| ο | 0959 | 575 | Ο | 0927 | 8 |
| π | 0960 | 313 | Π | 0928 | 10 |
| ρ | 0961 | 341 | Ρ | 0929 | 0 |
| ς | 0962 | 362 | • | 0930 | 0 |
| σ | 0963 | 313 | Σ | 0931 | 4 |

| | | | | | |
|---|---|---|---|---|---|
| τ | 0964 | 648 | Τ | 0932 | 10 |
| υ | 0965 | 136 | Υ | 0933 | 1 |
| φ | 0966 | 72 | Φ | 0934 | 0 |
| χ | 0967 | 73 | Χ | 0935 | 6 |
| ψ | 0968 | 39 | Ψ | 0936 | 0 |
| ω | 0969 | 133 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 4 | | | 0 |
| ῥ | 8165 | 9 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 101 | έ | 8051 | 110 | ή | 8053 | 25 | ί | 8055 | 177 | ό | 8057 | 116 | ύ | 8059 | 55 | ώ | 8061 | 25 |
| ὰ | 8048 | 51 | ὲ | 8050 | 19 | ὴ | 80852 | 78 | ὶ | 8054 | 85 | ὸ | 8056 | 96 | ὺ | 8058 | 18 | ὼ | 8060 | 7 |
| ᾶ | 8118 | 11 | | | 0 | ῆ | 8134 | 61 | ῖ | 8150 | 53 | | | 0 | ῦ | 8166 | 90 | ῶ | 8182 | 66 |
| ἀ | 7936 | 95 | ἐ | 7952 | 111 | ἠ | 7968 | 2 | ἰ | 7984 | 26 | ὀ | 8000 | 5 | ὐ | 8016 | 64 | ὠ | 8032 | 2 |
| ἁ | 7937 | 9 | ἑ | 7953 | 9 | ἡ | 7969 | 23 | ἱ | 7985 | 16 | ὁ | 8001 | 18 | ὑ | 8017 | 22 | ὡ | 8033 | 18 |
| ἂ | 7938 | 1 | ἒ | 7954 | 0 | ἢ | 7970 | 0 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 5 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 0 | ἣ | 7971 | 0 | ἳ | 7987 | 1 | ὃ | 8003 | 1 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 5 | ἔ | 7956 | 13 | ἤ | 7972 | 0 | ἴ | 7988 | 10 | ὄ | 8004 | 3 | ὔ | 8020 | 0 | ὤ | 8036 | 1 |
| ἅ | 7941 | 2 | ἕ | 7957 | 1 | ἥ | 7973 | 2 | ἵ | 7989 | 5 | ὅ | 8005 | 5 | ὕ | 8021 | 4 | ὥ | 8037 | 1 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 0 | ἶ | 7990 | 3 | | | 0 | ὖ | 8022 | 2 | ὦ | 8038 | 2 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 1 | ἷ | 7991 | 3 | | | 0 | ὗ | 8023 | 0 | ὧ | 8039 | 0 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 1 |
| ᾳ | 8115 | 8 | | | 0 | ῃ | 8131 | 8 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 11 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 10 | | | 0 | ῇ | 8135 | 6 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 21 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.

**0345-0407 - Iohannes Chrysostomus - In catechumenos**

**Verborum Omnium Conspectus: 867Verba, quae repetita sunt in 2,424,120 occasionibus**

**ἀγαθῆς** [00087]
**ἀγαθόν** [00093]
**ἀγαθῶν** [00136]
**ἀγαλλίασις** [00136]
**ἀγαπῶσι** [00091]
**ἄγγελοι** [00086] [00110]
**ἀγγέλους** [00083]
**ἅγιοι** [00110]
**ἀγῶνα** [00090]
**ἀγωνιζομένων** [00007]
**ἀγωνιστὴν** [00061]
**ἀγωνοθέτην** [00090]
**ἀγῶνος** [00004] [00095]
**ἀδιάδοχος** [00136]
**ἀεὶ** [00138]
**ἀθρόον** [00062] [00067]
**αἰ** [00086]
**Αἰθιοπίας** [00027]
**αἷμα** [00025]
**αἱμόῤῥους** [00027] [00041]
**αἰτίαν** [00122]
**αἴτιον** [00026]
**αἰφνίδιοι** [00070]
**αἰφνίδιον** [00066]
**αἰω** [00053]
**αἰῶνας** [00138]
**αἰώνων** [00125] [00138]
**ἀκλυδώνιστον** [00018]
**Ἄκουε** [00029]
**ἀκούεις** [00049] [00072]
**ἀκούσῃς** [00107]
**ἄκουσον** [00094]
**Ἄκουσον** [00098]
**ἀκώλυτα** [00022]
**ἀλείφει** [00095]
**ἀληθῆ** [00023]
**ἀλλ** [00026] [00116] [00135]
**Ἀλλ** [00027]
**ἀλλὰ** [00012] [00030]
**ἀλλήλων** [00111]
**ἁλμυρὰν** [00016]
**ἅμα** [00041]
**ἁμαρτάνειν** [00087]
**ἁμαρτίαν** [00022]
**ἁμαρτίας** [00020] [00027]
**ἁμαρτιῶν** [00059]
**ἁμαρτωλὸν** [00011]
**ἀμελεῖς** [00046]
**ἀμεταβλήτῳ** [00062]
**ἀμετρίαν** [00059]
**Ἀμήν** [00139]
**ἀμοιβὰς** [00108]
**ἀμοίρησιν** [00053]
**ἀμπελῶνα** [00025]
**ἀμφοτέρων** [00053]
**ἀναγκαίων** [00053]
**ἀνάγκην** [00101]
**ἀνάμενε** [00050]
**ἀναμένει** [00135]
**ἀναπαύοντα** [00082]
**ἀναπαύσω** [00015] [00031]
**ἀνάρπαστοι** [00054]
**ἀναφαίρετος** [00136]
**ἀνενδεὴς** [00007] [00136]
**ἀνηρπάσθησαν** [00062]
**ἀνθρώπου** [00055] [00077] [00110]
**ἀνθρώπους** [00021]
**ἀνθρώπων** [00052] [00062]
**ἀνταπόδοσιν** [00120]
**ἀντίδοσιν** [00109]
**ἀντιπαλοῦσαν** [00017]
**ἀξίνη** [00073] [00074]
**ἄξιοι** [00128]
**ἀξίωμα** [00027]
**ἀόριστον** [00057]
**ἀπ** [00111]
**ἀπειλὴν** [00130]
**ἀπελεύσῃ** [00080]
**ἀποδίδωσι** [00096]
**ἀποδοθέντες** [00053]
**ἀπολαύσεως** [00053]
**ἀπόλαυσις** [00136]
**ἀπολογία** [00136]
**ἀπολογίας** [00087]
**ἀποπνίγων** [00021]
**ἄπορον** [00124]
**ἀποῤῥήτως** [00108]
**Ἀπόστολον** [00027]
**ἀποφάσεως** [00130]
**ἀπόφασις** [00079]
**ἀπωλείας** [00026]
**ἀπώλοντο** [00068]
**Ἀριθμήσωμεν** [00060]
**ἀρνοῦμαι** [00119]
**ἀρνῶν** [00128]
**ἁρπαζόμενος** [00039]
**ἁρπαζούσης** [00022]
**ἀρτίως** [00014]
**ἀσθένειαν** [00025]
**ἀσθενῆ** [00009]
**ἀσθενῶσι** [00035]
**ἀσφάλειαν** [00061]

**ἀταμίευτον** [00136]
**ἀτονεῖν** [00036]
**αὐστηρίαν** [00130] [00133]
**αὐτοὶ** [00088]
**αὐτὸν** [00090] [00099] [00104]
**αὐτόν** [00099] [00104]
**αὐτὸς** [00095]
**αὐτοῦ** [00099] [00101] [00110] [00111]
**αὐτοῦ** [00110] [00110] [00112] [00113]
**αὐτοὺς** [00111]
**ἀφεῖναι** [00033]
**ἀφιστάμενοι** [00081]
**ἀφοριεῖ** [00111]
**ἀφορίζει** [00111]
**ἀφορμὰς** [00096]
**ἀφορμὴ** [00136]
**ἀφράστου** [00100]

**βαδίζοντος** [00022]
**βαπτισθῆναι** [00028]
**βάπτισμα** [00027]
**βασάνοις** [00053]
**βαστάζουσαν** [00107]
**βδελυρὰν** [00128]
**βελτίονος** [00129]
**βελτιοῦται** [00085]
**βίος** [00084]
**βίου** [00016] [00062] [00087] [00090]
**βίῳ** [00053]
**Βλέπε** [00100]
**βοᾷ** [00014] [00079]
**βοήθημα** [00136]
**βουλομένοις** [00022]
**βοῶντος** [00072]
**βραβεῖον** [00004]
**βραβευτὴς** [00007] [00095] [00103]
**βραδύνεις** [00047]
**βραχεῖ** [00052]
**βραχὺν** [00054]

**γὰρ** [00008] [00013] [00022] [00024] [00025] [00031] [00051] [00053] [00056] [00058] [00059] [00088] [00091] [00100] [00115] [00120] [00125] [00127] [00129] [00130] [00136]
**γάρ** [00007]
**γαυρίαμα** [00136]
**γεγηρακόσι** [00060]
**γενέσθαι** [00128]
**γενναιότητι** [00062]
**γενόμενοι** [00054]
**γένος** [00045]
**γένους** [00032]
**Γῆ** [00080]
**γῆν** [00080]
**γήρως** [00054]
**γῆς** [00066] [00108]
**γίνομαι** [00039]
**γνῶσιν** [00023] [00059]
**γυμνούσης** [00022]

**δαίμονος** [00022]
**Δαλιδὰ** [00025]
**δανείζει** [00127]
**δαπανᾶται** [00085]
**Δαυῒδ** [00098]
**δὲ** [00003] [00004] [00005] [00005] [00007] [00010] [00011] [00021] [00052] [00112] [00133]
**δέδοικε** [00134]
**δειλίᾳ** [00059]
**δένδρων** [00073]
**δεξιὰν** [00108]
**δεξιῶν** [00112] [00113] [00128]
**Δέσποτα** [00122]
**Δεσπότῃ** [00048]
**Δεσπότης** [00055] [00095] [00100] [00103] [00105]
**Δεσποτικὸν** [00130]
**Δεσποτικῶν** [00089]
**Δεσπότου** [00072] [00079]
**Δεῦτε** [00015] [00016] [00019] [00031] [00034] [00042] [00114] [00121]
**δέχεται** [00009]
**δεχόμενος** [00007]
**δεχομένῳ** [00106]
**δῆλον** [00097]
**Διὰ** [00055] [00061] [00130]
**διὰ** [00041]
**διαβολικαῖς** [00017]
**διάβολον** [00021]
**διαλέγεται** [00023]
**διαπλέοντες** [00016]
**διάστημα** [00084]
**διάταγμα** [00014]
**διδόντος** [00108]
**δικαίῳ** [00011]
**Δικαστὴν** [00125]
**δικαστὴν** [00115]
**δικαστήριον** [00130]
**Δικαστοῦ** [00133]
**δικτύῳ** [00012]
**διψᾷ** [00022] [00023] [00023] [00027]
**δίψος** [00023] [00024] [00026] [00026] [00026]
**διψῶντας** [00022]
**δόντες** [00053]
**δόξα** [00138]
**Δοξάσω** [00104]
**δοξάσω** [00099]
**δόξῃ** [00110]
**δόξης** [00110]
**δόσιν** [00119]
**δράμωμεν** [00082] [00082] [00083] [00090]
**δράσομεν** [00086]
**δρόμον** [00007]
**δρόμος** [00005]
**δρόμου** [00003]
**δύναμιν** [00096]

**δυναστείᾳ** [00062]
**δυνάστην** [00008]
**δωρεᾶς** [00022]

**ἑαυτοῖς** [00062]
**ἑαυτοῦ** [00061]
**ἑαυτοὺς** [00053]
**ἑαυτῶν** [00059] [00071]
**ἐβόα** [00027]
**ἐγγύτητα** [00072]
**ἐγὼ** [00121]
**ἐδαπάνησαν** [00070]
**ἐδέξαντο** [00071]
**ἐδίψησαν** [00025] [00026] [00026] [00026]
**ἐδίψησε** [00025] [00027] [00027] [00027] [00027] [00027]
**Ἐδίψησε** [00024]
**ἐδίψησεν** [00025] [00025] [00025] [00025] [00027] [00027]
**ἐδώκατέ** [00123]
**ἐθέλομεν** [00058]
**ἐθέρισε** [00069]
**ἔθνη** [00111]
**Εἴ** [00022]
**εἰ** [00037]
**εἴ** [00023] [00023] [00023] [00023] [00027]
**εἶ** [00080]
**Εἶδες** [00045]
**εἰμι** [00099] [00101]
**Εἰπὲ** [00122]
**Εἰς** [00002]
**εἰς** [00080] [00091] [00138]
**εἷς** [00003] [00005]
**Εἶτα** [00103]
**εἴωθεν** [00105]
**ἐκ** [00082] [00112] [00113] [00128] [00130]
**ἐκάλυψε** [00065]
**ἑκάστην** [00060]
**ἕκαστον** [00022]
**ἑκάστου** [00007]
**ἐκδέχεται** [00135]
**ἐκεῖ** [00126]
**ἐκεῖνο** [00130]
**ἐκκλησίας** [00005]
**Ἐκτείνει** [00108]
**ἐκφορούμενος** [00039]
**ἐλαττοῦμαι** [00040]
**ἐλαττώσωμεν** [00059]
**ἐλέγχει** [00038]
**ἐλεύσεται** [00051]
**ἐλεῶν** [00127]
**ἔλθῃ** [00110]
**ἑλκύσωμεν** [00062]
**ἐλπίδα** [00053]
**ἐλπίζοντες** [00053]
**ἐμὰ** [00038]
**ἐμὴν** [00027]
**ἐμοὶ** [00016]
**ἐμπιστεύσατε** [00016]
**ἐμπλήσω** [00104]
**ἐμπορίαν** [00018]
**ἐμπρησμὸς** [00063]
**ἔμπροσθεν** [00111]
**ἐν** [00052] [00056] [00079] [00095] [00099] [00108] [00110] [00133]
**Ἐν** [00003] [00005] [00095] [00101]
**ἔνδοξον** [00009]
**ἐνεμέμικτο** [00060]
**ἐνόησαν** [00054]
**ἐνόμισαν** [00053] [00054]
**ἑνός** [00004]
**ἐξ** [00050] [00053] [00112]
**ἐξαίφνης** [00054] [00063]
**ἐξαπίνης** [00051]
**ἐξαρπάζω** [00101]
**ἐξεθέμην** [00117]
**ἐξελοῦμαι** [00099]
**ἐξουδενοῖ** [00010]
**ἐξουσιάζομεν** [00058]
**ἐξουσίαν** [00129]
**ἔξωθεν** [00003]
**ἐπαγγελίας** [00138]
**ἐπαγγέλλῃ** [00061]
**ἐπεδείξασθε** [00121]
**ἐπειγομένης** [00022]
**ἐπειδὴ** [00062]
**Ἐπείνασα** [00123]
**ἐπειχθῶμεν** [00083]
**ἐπελπίζωμεν** [00057]
**ἐπὶ** [00060] [00062] [00062] [00083] [00105] [00108] [00110] [00134]
**ἐπιβουλῆς** [00057]
**ἐπιθυμεῖ** [00023]
**ἐπίκειται** [00020]
**ἐπιλογὴν** [00129]
**ἐπίσης** [00007]
**ἐπιστεύθημεν** [00059]
**ἐπιστρέψαι** [00050]
**ἐπιτερπόμενοι** [00062]
**ἐπιτίθησι** [00095]
**Επιτρέπετα** [00043] [00092] [00140]
**ἐπιτυχεῖν** [00138]
**ἐρασθῶμεν** [00087] [00089]
**ἐρεῖ** [00113]
**ἐρίφια** [00112]
**ἐρίφων** [00111] [00128]
**ἐρχέσθω** [00022]
**ἔρχεται** [00056]
**ἐρχομένους** [00083]
**ἔστι** [00021] [00136]
**ἐστὶν** [00084]
**ἐστιν** [00137]
**εὐαγγελιστοῦ** [00027]
**εὐεργεσίαν** [00032] [00108] [00118]
**εὐεργετημένῳ** [00116]
**εὐλογημένοι** [00114]
**εὐμετάδοτον** [00105]
**εὐνοῦχος** [00027]

**εὐποιίαν** [00106]
**εὐπορίαν** [00038]
**εὐπρόσιτος** [00136]
**εὐσέβεια** [00132] [00137]
**εὐσεβείας** [00005] [00012] [00023]
**εὐτρεπίζει** [00108]
**εὐτρεπίζων** [00007]
**εὐωνύμων** [00112]
**ἐφ** [00027]
**ἐφαπλοῖ** [00012]
**ἐφέλκεται** [00012]
**ἔφοδοι** [00070]
**ἔχομεν** [00129]
**ἔχοντες** [00090]
**ἔχουσα** [00138]
**ἔχω** [00017]

**Ζακχαῖος** [00027]
**ζημιωθῆτε** [00118]
**ζῆσαι** [00058]
**ζωὴ** [00077]
**ζωὴν** [00022] [00063]
**ζωῆς** [00030] [00062] [00084] [00138]
**ζῶντος** [00023]
**ζωοποιὸν** [00027]

**ἡ** [00025] [00025] [00041] [00045] [00051] [00069] [00074] [00076] [00086] [00132] [00138]
**Ἡ** [00073] [00077] [00079] [00137]
**ἡγούμενοι** [00053]
**ἥδομαι** [00040]
**ἡδοναῖς** [00062]
**ἠκούσαμεν** [00014]
**ἡμεῖς** [00057] [00138]
**ἡμέραν** [00050] [00060]
**ἡμέρας** [00050]
**ἡμερῶν** [00104]
**ἡμετέραν** [00083]
**ἡμῖν** [00130]
**ἡμῶν** [00138]
**ἠξιώθησαν** [00071]
**ἡρπάγησαν** [00053]
**Ἡρώδης** [00025]
**Ἡρωδιὰς** [00025]
**ἧς** [00138]
**ἥτις** [00079]
**ηὕρασθε** [00115]
**ηὐτρέπισμαι** [00032]

**θάλασσα** [00065]
**θάλασσαν** [00016]
**θάνατον** [00055]
**θάνατος** [00075]
**θανάτου** [00059] [00061] [00071] [00083]
**θαυμαστότερον** [00094]
**θέλω** [00033]
**Θεὸν** [00088] [00091]
**θεραπεία** [00136]
**θεραπείαν** [00027]
**θεραπεύων** [00037]
**θέρος** [00121]
**Θεῷ** [00127]
**θεωρίαν** [00027]
**θηρίοις** [00068]
**θλίψει** [00099]
**θλίψεως** [00101]
**θρόνον** [00116]
**θρόνου** [00110] [00134]
**Θωμᾶς** [00027]

**ἰατρὸν** [00036]
**Ἰδοὺ** [00028]
**ἱδρῶτες** [00004]
**ἰδὼν** [00052]
**Ἰεζάβελ** [00025]
**Ἰησοῦ** [00138]
**ἵν** [00057]
**ἵνα** [00059] [00118] [00130]
**Ἰουδαῖοι** [00025]
**Ἰούδας** [00024]
**ἰσάριθμοι** [00005]
**ἵσταται** [00007]
**ἰσχύομεν** [00062]
**ἰσχυρὸν** [00061]
**ἴσως** [00012]
**ἰώμενον** [00036]
**In** [00001]

**κἀγὼ** [00015] [00031]
**καθ** [00060]
**καθάπερ** [00062]
**καθαροὶ** [00088]
**καθαρότητα** [00087]
**καθημένῳ** [00116]
**καθίσει** [00110]
**καθὼς** [00111]
**καιρὸν** [00058]
**καιρῷ** [00095] [00101] [00133]
**κακῶς** [00130]
**καλεῖ** [00030]
**καλούμενοι** [00086]
**καλοῦντί** [00048]
**καλοῦντι** [00081]
**κάμνοντι** [00096]
**κάμνω** [00037]
**κἂν** [00035]
**καρδίᾳ** [00088]
**καρδίας** [00136]

**κατάγνωσιν** [00135]
**καταξιωθείημεν** [00138]
**καταχρήσασθαι** [00053]
**κατεπείγει** [00086]
**κατετέφρωσε** [00063]
**κατεχώσθησαν** [00064]
**κατηγορεῖ** [00086]
**κατήγορον** [00134]
**κατηχούμενε** [00029] [00046] [00061]
**κατηχουμένους** [00002]
**καυχώμενοι** [00062]
**κεῖται** [00073]
**κεκραγότος** [00098]
**κενούμενος** [00040]
**κέρδος** [00053] [00136]
**κινδύνου** [00101]
**κλέπτειν** [00054]
**κλέπτην** [00055]
**κλέπτης** [00056]
**κλεπτόμενοι** [00054]
**κλεπτόμενος** [00040]
**κλέψασα** [00041]
**κλήσεως** [00022]
**κοι** [00106]
**κοινῆς** [00071]
**Κοινὸν** [00013]
**κοινωνίαν** [00128]
**κολάσεσι** [00053]
**κολάσεως** [00026]
**κολυμβήθρας** [00021]
**κομίζεται** [00003]
**κοπιῶντες** [00015] [00031] [00044]
**κόπον** [00003]
**κόπτειν** [00079]
**κόπτων** [00078]
**κόσμος** [00038]
**κράτος** [00138]
**κραυγήν** [00134]
**κρίνειν** [00126]
**κρίσιν** [00086]
**κριτὴς** [00086] [00130]
**κρύπτω** [00118]
**Κτησώμεθα** [00126]
**κτησώμεθα** [00087]
**κτίζων** [00037]
**κτίσαντος** [00045]
**κυριεύομεν** [00058]
**Κύριον** [00050] [00082]
**Κυρίου** [00051] [00138]
**κωλύει** [00028]

**λάθρα** [00108]
**λαίλαπος** [00062]
**λαίνει** [00106]
**λαμβάνει** [00108]
**λέγει** [00100]
**λέγοντος** [00049]
**λέγων** [00103]
**λησταῖς** [00068]
**ληστὴς** [00027]
**λιμὴν** [00021]
**λογοθεσίῳ** [00133]
**λόγον** [00100]
**λόγος** [00084]
**λοιπὸν** [00103]

**μαθεῖν** [00130]
**μακρότητι** [00104]
**μακροχρόνιον** [00063]
**μάρτυς** [00041]
**Ματθαῖος** [00027]
**μάχαιρα** [00069]
**με** [00015] [00022] [00028] [00036]
**μεγαλοφώνως** [00014]
**μέγας** [00132]
**μέλλοντα** [00126]
**μελλόντων** [00125]
**μελλούσης** [00087] [00138]
**μὲν** [00003] [00004] [00005] [00007] [00112]
**μερίδος** [00128]
**μεριζόμενος** [00038]
**μέσος** [00007]
**Μετ** [00099]
**μετ** [00095] [00096] [00101] [00110]
**μεταγόμενοι** [00082]
**μεταδιώξωμεν** [00128]
**μεταστάσεως** [00059]
**Μηδεὶς** [00036] [00124]
**μηνύοντος** [00072]
**μήτε** [00053]
**μικροτέραις** [00053]
**μισήσωμεν** [00087] [00128]
**μισθοὺς** [00096]
**μνήματα** [00060]
**μοι** [00021] [00061] [00123]
**μόνον** [00030]
**μου** [00032] [00038] [00114]
**μυριάδες** [00035]

**Ναβουθαὶ** [00025]
**νάματα** [00023]
**νεαζόντων** [00060]
**νεότητα** [00010]
**νηπίων** [00025]
**νίαις** [00053]
**νίκης** [00003] [00095] [00096]
**νικητῇ** [00096]
**νόει** [00107]
**νοεῖ** [00133]
**νομιζέτω** [00036]

**νοσημάτων** [00070]
**νοσούντων** [00022]
**νυκτὶ** [00056]
**νῦν** [00138] [00138]

**ξένον** [00006]

**ὁ** [00005] [00027] [00027] [00038] [00055] [00078] [00084] [00085] [00086] [00095] [00100] [00105] [00110] [00111] [00130]
**ὃ** [00027]
**Ὁ** [00075] [00085] [00127]
**ὀβολοὺς** [00108]
**ὁδοιποροῦντας** [00067]
**οἱ** [00004] [00004] [00005] [00015] [00016] [00031] [00042] [00086] [00088] [00110] [00114]
**οἳ** [00053]
**οἴακας** [00016]
**οἰκουμένην** [00036]
**οἰκουμένης** [00107]
**οἰκτιρμῶν** [00012] [00121]
**ὄλεθρον** [00025]
**ὅλην** [00032] [00054]
**ὀλίγον** [00095] [00096]
**ὄμβρῳ** [00033]
**ὁμοίως** [00012]
**ὅπερ** [00100] [00117]
**ὀργὴ** [00051]
**ὁρίσαι** [00062]
**ὅσον** [00058]
**Ὅταν** [00107] [00110]
**Οὐ** [00008] [00058]
**οὐ** [00009] [00010] [00011] [00030] [00037] [00039] [00058] [00085] [00118] [00134]
**οὐδὲ** [00071]
**οὐδέν** [00006]
**Οὐκ** [00049] [00072]
**οὐκ** [00037] [00038] [00040] [00054] [00059] [00062] [00119] [00135]
**Οὐκοῦν** [00062] [00081] [00087]
**οὖν** [00046] [00124]
**οὐρανῷ** [00108]
**οὐσίαν** [00022]
**οὕτως** [00056]
**Οὐχ** [00133]
**ὀφειλέτην** [00115]
**ὄψονται** [00088]

**παθεῖν** [00130]
**παιδευόμενοι** [00059]
**παλαίουσι** [00095]
**παλάμην** [00107]
**πάλην** [00095]
**πάντα** [00091] [00100] [00102] [00111] [00137]
**πάντας** [00012] [00022]
**πάντες** [00015] [00016] [00019] [00031] [00034] [00042] [00110]
**πάντων** [00005]
**παρὰ** [00005]
**παράγγελμα** [00131]
**παράδεισον** [00027]
**παραδράμωμεν** [00131]
**παραινοῦντος** [00049]
**παρακαλεῖ** [00030]
**παράκλησιν** [00135]
**παραπέμπεται** [00009]
**παραπεμπέτω** [00124]
**παραπεμψάμενος** [00061]
**παράστασιν** [00083]
**παρατρέχει** [00084]
**παρεκτικὸν** [00026]
**παρέσυραν** [00067]
**παρέχει** [00096]
**παρέχων** [00039]
**παριστῶσιν** [00086]
**παρορᾷ** [00008] [00125]
**παρορᾷς** [00061]
**παῤῥησίας** [00136]
**παρὼν** [00084]
**πᾶσαν** [00022]
**πᾶσι** [00013]
**πᾶσιν** [00012]
**πατρίδος** [00071]
**Πατρὸς** [00110]
**Πατρός** [00114]
**Παύλου** [00131]
**πεινῶντα** [00125]
**πένης** [00039]
**πένητα** [00124]
**πένητι** [00106]
**πέρατα** [00107]
**περὶ** [00045]
**περιμένει** [00086]
**περιπεσόντες** [00068]
**πεφορτισμένοι** [00015] [00031]
**πηγὴ** [00030]
**πηγήν** [00033]
**πηγῆς** [00022]
**πινέτω** [00022]
**πλείονος** [00057]
**πλέοντας** [00065]
**πλῆθος** [00060]
**πλημμυρίσαντες** [00067]
**πλούσιος** [00007]
**πλοῦτος** [00136]
**πλυθῆναι** [00027]
**πνεύματι** [00082]
**πνευματικῷ** [00005]
**Πόθεν** [00097]
**ποιεῖν** [00105]
**ποιεῖται** [00109]
**ποιμὴν** [00111]
**ποιῶ** [00102]
**πολέμων** [00069]
**πολιὰν** [00010]
**πολιτείας** [00087]

**πολλῇ** [00090]
**Πολλοὶ** [00053]
**πολλοὶ** [00003]
**πολλῶν** [00004]
**πολὺ** [00060]
**πολὺς** [00020]
**πόνοι** [00004]
**Πορισμὸς** [00132]
**πόρνη** [00027]
**πόση** [00045]
**πόσοι** [00062] [00064] [00068] [00071]
**Πόσους** [00063]
**πόσους** [00065] [00066] [00067] [00069] [00070]
**ποταμοὶ** [00067]
**πότε** [00109]
**ποτίζειν** [00022]
**πράξεις** [00086]
**πρὸ** [00053] [00054]
**προβαδίζον** [00136]
**πρόβατα** [00111] [00112]
**προδοσίας** [00024]
**Προδρόμου** [00025]
**προηγόρευσε** [00130]
**προητοίμασα** [00121]
**προθεσμίαν** [00057]
**προθυμίᾳ** [00090]
**προθυμίαν** [00007]
**προκαθέζεται** [00095]
**προλάβωμεν** [00083]
**πρόξενον** [00026]
**προξενῶ** [00018]
**προπεμπομένους** [00060]
**Πρὸς** [00032]
**πρὸς** [00022] [00023] [00027] [00050] [00057] [00073] [00082] [00082] [00086] [00090] [00095] [00120] [00137]
**πρός** [00015] [00022]
**προσδοκήσαντας** [00063]
**προσδοκωμένων** [00053]
**προσδράμετε** [00116]
**Πρόσελθε** [00048]
**προσέλθωμεν** [00081]
**προσίτωσαν** [00035]
**προσμειδιᾷ** [00011]
**πρόσταγμα** [00086]
**προστέθεικε** [00013]
**προστρέχοντα** [00011]
**πρόσωπον** [00108]
**προτίθημι** [00103]
**προτιμᾶται** [00008]
**προτρέχουσιν** [00086]
**προφέρω** [00117]
**προφητῶν** [00025]
**πτωχεύοντα** [00008]
**πτωχὸν** [00127]
**πυρακτούμενος** [00027]
**πυρετοῦ** [00026]
**πῶς** [00109]

**ῥᾳδίως** [00052]
**ῥᾳθυμήσαντας** [00063]
**ῥεούσης** [00022]
**ῥίζα** [00076]
**ῥίζαν** [00073]

**σαγήνην** [00012]
**Σαμψὼν** [00025]
**σάρκα** [00082]
**σαρκὸς** [00062]
**σε** [00048]
**σεισμῷ** [00064]
**σημειοῦται** [00108]
**σκιὰ** [00084]
**σκοπήσωμεν** [00060]
**σκότους** [00082]
**σοφοῦ** [00049]
**σοφῶς** [00053]
**σπεύδω** [00120]
**σπιλάσιν** [00017]
**σπόρον** [00121]
**σπουδάσωμεν** [00128]
**σταδίοις** [00003]
**στάδιον** [00090]
**στέφανοι** [00005]
**στεφανοῖ** [00010]
**στέφανον** [00003]
**στεφάνους** [00095]
**στεφάνων** [00089]
**στεφθεῖσα** [00041]
**συγγένειαν** [00128]
**συμμερίζομαι** [00101]
**συμπαλαίει** [00096]
**σὺν** [00090]
**Συναγωγὴ** [00025]
**συναγωνιζόμενος** [00102]
**συναθλεῖ** [00095]
**συναχθήσονται** [00111]
**συνείδησις** [00086]
**συνειδότος** [00136]
**συνεργεῖ** [00091]
**συνεργοῦντα** [00090]
**συνεχῶς** [00072]
**συνήθειαν** [00087]
**σύνθημα** [00071]
**συνοδεύουσα** [00136]
**Συντέμνει** [00052]
**σώζων** [00021]
**σῶμα** [00041]
**Σωτῆρα** [00025]
**σωτηρίαν** [00054]
**σωτηρίας** [00016] [00018] [00023]
**σωφρονεῖν** [00059]

**τὰ** [00023] [00038] [00060] [00107] [00111] [00111] [00112] [00112]
**ταῖς** [00053] [00062]
**ταμιευσάμενοι** [00053]
**ταραττόμενοι** [00057]
**τὰς** [00007] [00027] [00096] [00108]
**Ταῦτα** [00102]
**ταύτην** [00016]
**ταύτης** [00081]
**ταφὴν** [00062]
**ταφῆς** [00071]
**ταχύτερον** [00083]
**τελευτῆς** [00062]
**τέλους** [00072]
**τέρπομαι** [00039]
**τέχνην** [00017]
**τέως** [00053]
**τῇ** [00059] [00088] [00095] [00110]
**τὴν** [00007] [00012] [00016] [00022] [00022] [00023] [00025] [00027] [00027] [00027] [00032] [00036] [00038] [00052] [00053] [00054] [00057] [00059] [00059] [00061] [00062] [00072] [00073] [00082] [00083] [00087] [00101] [00103] [00106] [00106] [00107] [00107] [00108] [00108] [00109] [00118] [00118] [00119] [00120] [00122] [00128] [00128] [00129] [00130]
**Τῆς** [00128]
**τῆς** [00003] [00004] [00005] [00005] [00012] [00016] [00020] [00023] [00023] [00024] [00027] [00053] [00057] [00058] [00059] [00061] [00062] [00062] [00062] [00066] [00071] [00071] [00084] [00087] [00095] [00096] [00100] [00101] [00107] [00121] [00130] [00138] [00138]
**Τί** [00046]
**τί** [00028] [00047] [00061] [00086]
**τίθησι** [00112]
**τιμὰς** [00007]
**τιμὴ** [00136]
**Τίς** [00074] [00076] [00078]
**τις** [00007] [00022] [00023] [00023] [00023] [00023] [00027]
**τὸ** [00004] [00023] [00024] [00025] [00027] [00027] [00045] [00053] [00057] [00060] [00071] [00082] [00084] [00086] [00090] [00091] [00094] [00108] [00121] [00130] [00131] [00131] [00138]
**τοίνυν** [00061] [00108] [00126]
**Τοῖς** [00091]
**τοῖς** [00003] [00022] [00060] [00095] [00113]
**τὸν** [00003] [00008] [00008] [00009] [00009] [00011] [00021] [00025] [00025] [00025] [00027] [00027] [00036] [00052] [00055] [00061] [00061] [00062] [00062] [00082] [00088] [00090] [00090] [00091] [00105] [00115] [00116] [00121] [00124] [00125] [00126]
**τότε** [00110]
**τοῦ** [00003] [00004] [00016] [00022] [00023] [00023] [00025] [00025] [00025] [00027] [00032] [00045] [00049] [00054] [00055] [00057] [00058] [00059] [00061] [00062] [00071] [00072] [00072] [00077] [00079] [00082] [00083] [00087] [00090] [00095] [00098] [00101] [00108] [00110] [00110] [00114] [00129] [00130] [00131] [00134] [00138]
**τοὺς** [00002] [00016] [00022] [00025] [00060] [00095] [00096] [00108] [00138]
**Τοῦτο** [00105]
**τοῦτο** [00041] [00055] [00097] [00130]
**Τούτου** [00059]
**τούτῳ** [00005]
**τραυμάτων** [00027]
**τρεπομένην** [00052]
**τρεχόντων** [00005]
**τρόπος** [00085]
**τῷ** [00005] [00011] [00012] [00048] [00053] [00079] [00081] [00082] [00095] [00096] [00101] [00106] [00116]
**Τῶν** [00089]
**τῶν** [00005] [00007] [00012] [00022] [00025] [00025] [00052] [00053] [00053] [00059] [00060] [00062] [00069] [00073] [00111] [00121] [00125] [00128] [00128] [00138]

**ὕδατος** [00023]
**ὕδωρ** [00028]
**Υἱὸς** [00110]
**ὑμᾶς** [00015] [00031]
**ὑμεῖς** [00121]
**ὑμῖν** [00018] [00117] [00121]
**ὑπεδέξατο** [00066]
**ὑπεκκλίνωμεν** [00130]
**ὑπὲρ** [00100]
**ὑπερθέσεσι** [00053]
**ὑπερθέσεως** [00058]
**ὑπερτίθου** [00050]
**ὑπὸ** [00062]
**ὑποβλέπεται** [00011]
**ὑποδέχεται** [00108]
**ὑπόκειται** [00133]
**ὑπομένουσι** [00003]
**ὑποτάξαντες** [00082]

**φαγεῖν** [00123]
**φαρμάκου** [00022]
**φάσκον** [00131]
**φησὶ** [00022] [00031] [00091] [00101] [00127]
**φησὶν** [00056] [00110]
**φιλανθρωπίᾳ** [00138]
**φιλανθρωπίαν** [00118]
**φιλανθρωπίας** [00014] [00100]
**φιλοτιμία** [00045]
**φιλοτιμίαν** [00103]
**φιλόχριστε** [00045]
**φοβεῖσθε** [00116]
**φοβερὸν** [00130]
**φόβον** [00061] [00062]
**φόνους** [00025]
**φροντίσωμεν** [00087]
**φύσιν** [00052]
**φωνῆς** [00022]
**φῶς** [00082]

**χαίρω** [00039]
**χαρᾶς** [00004] [00121]
**χαρίζεται** [00096]
**χάριν** [00059]
**χάρις** [00136]
**χαρισμάτων** [00033]
**χάριτι** [00138]
**χάσμα** [00066]
**χειμών** [00020]
**χεῖρα** [00106] [00107]
**χειρόγραφον** [00117]
**χοῦς** [00062]
**χρεώστην** [00126]
**χρηστότητος** [00100]
**Χριστόν** [00090]
**Χριστὸς** [00007] [00055]
**Χριστοῦ** [00107] [00138]
**Χριστῷ** [00081]
**χρονικῆς** [00058]

**χρόνον** [00052] [00054] [00061] [00062]
**χρόνος** [00085]
**χρόνου** [00057]
**χωρισθέντες** [00071]
**χωρίῳ** [00005]

**ψηλάφησιν** [00027]
**ψυχὴν** [00041]
**ψυχῆς** [00061] [00136]

**ὢ** [00022] [00022] [00022] [00022] [00100]
**ὦ** [00046] [00061]
**Ὢ** [00022] [00100]
**ᾧ** [00138]
**ὤκνησα** [00037]
**ὠνόμασε** [00055]
**ὥρᾳ** [00095]
**ὡς** [00007] [00014] [00027] [00027] [00027] [00027] [00027] [00027] [00027] [00054] [00060] [00061] [00062] [00084] [00096] [00103] [00116] [00124]
**Ὡς** [00056] [00084]
**ὠφέλιμός** [00137]